(Πυ.) βάλλομαι βώλοις, λίθοις·
ἀπόλωλα.
(Σω.) βάλλει; ποῖ, κακόδαιμον;
(Πυ.) οὐκέτι
ἴσως διώκει.
(Σω.) μὰ Δί'.
(Πυ.) ἐγὼ δ' ᾤμην.
(Σω.) τί δὲ
λέγεις;
(Πυ.) ἀπαλλαγῶμεν, ἱκετεύω σε—
(Σω.) ποῖ;
(Πυ.) ἀπὸ τῆς θύρας ἐντεῦθεν ὡς πορρωτάτω.
'Οδύνης γὰρ ὑὸς ἢ κακοδαιμ⟨ον⟩ῶν τις ἢ
μελαγχολῶν ἄνθρωπος. οἰκῶν [. . . . . .]ει
τὴν οἰκίαν πρὸς ὃν μ' ἔπεμπ̣[ες ⏑⏑ ⏑ –
μεγάλου κακοῦ. τοὺς δακτύλους [⏑⏑ ⏓ ⏑ –
σχεδόν τι προσπταίων ἅπα[ντας. ⏑⏑ ⏑ –
ἐλθών τι πεπαρῴνηκε δευ[ ⏓ ⏑⏑ ⏑ –.
εὔδηλός ἐστι.
(Πυ.) νὴ Δί', ἐξωλ̣[– ⏑ –
Σώ]στρατ', ἀπολο̣[. . . . . . . .] δέ πως φυλακτικῶς.
ἀλλ' οὐ δύναμαι λ̣[. . . . . . .]ς ἕστηκεν δέ μοι
τὸ πνεῦμα. κόψας [τὴν θύ]ραν τῆς οἰκίας